τὰ πολλὰ βέλεα παμμιγῆ
γᾶς ἀπ' Ἀσίδος ἦλθ' ἐπ' αἶαν
δᾴαν, Ἑλλάδα χώραν.
ΑΓ. πλήθουσι νεκρῶν δυσπότμως ἐφθαρμένων
Σαλαμῖνος ἀκταὶ πᾶς τε πρόσχωρος τόπος.
antistr. 2. ΧΟ. ὀτοτοτοῖ, φίλων
ἁλίδονα σώματα πολυβαφῆ
κατθανόντα λέγεις φέρεσθαι
πλαγκτοῖς ἐν διπλάκεσσιν.
ΑΓ. οὐδὲν γὰρ ἤρκει τόξα, πᾶς δ' ἀπώλλυτο
στρατὸς δαμασθεὶς ναΐοισιν ἐμβολαῖς.
str. 3. ΧΟ. ἴυζ' ἄποτμον βοὰν
δυσαιανῆ Πέρσαις
δᾴοις, ὡς πάντα παγκάκως
ἔθεσαν. αἰαῖ στρατοῦ φθαρέντος.
ΑΓ. ὦ πλεῖστον ἔχθος ὄνομα Σαλαμῖνος κλύειν·
φεῦ, τῶν Ἀθηνῶν ὡς στένω μεμνημένος.
antistr. 3. ΧΟ. στυγναί γ' Ἀθῆναι δᾴοις·
μεμνῆσθαί τοι πάρα
ὡς πολλὰς Περσίδων μάταν
ἔκτισαν εὔνιδας ἠδ' ἀνάνδρους.
ΑΤ. σιγῶ πάλαι δύστηνος ἐκπεπληγμένη
κακοῖς· ὑπερβάλλει γὰρ ἥδε συμφορά,
τὸ μήτε λέξαι μήτ' ἐρωτῆσαι πάθη.

267. διαφόρων ἐθνῶν. 268. ἐπ' αἶαν Ἑλλάδα δῖαν χώραν. 273. ὑπὸ τοῦ αἵματος. 275. πλαγκτοῖς: ὡς ἂν εἴποι τις διαύλοις. τὰ γὰρ κύματα ἐκχεῖται καὶ ὑπονοστεῖ. διπλάκεσσι δέ, ταῖς δύο πλαξί, τῆς θαλάσσης τε καὶ γῆς. ἢ ἐν Σαλαμῖνι καὶ Πλαταιαῖς. 277. ἀντὶ τοῦ προσβολαῖς. 279. δυσθρήνητον. 280. διακεκομμένοις. 284. ἡμῖν τοῖς δηΐοις στυγνότητος αἴτιαι πάρεισιν εἰς μνήμην αἱ Ἀθῆναι, ὅ ἐστι τῶν Ἀθηνῶν ἡ μνήμη στυγνοὺς ἡμᾶς ποιεῖ. 286. ματαίως, μηδὲν βλαψάσας. 287. ἐποίησαν. ὀρφανάς. 290. λείπει ἡ πρός. τοιοῦτοι δὲ οἱ συμφοραῖς μεγάλαις κατεχόμενοι.

---

267. πολέα Lachmannus. τέλεα Meinekius. 269. δᾴαν Blomfieldus: δῖαν M. 277. ἐν βολαῖσ M. 278. ἴυζε M.